ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστιν
καὶ τῶν σοφῶν διορθωτής.
16 ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν
πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη.
17 αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ
εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων,
18 ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων,
τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν,
19 ἐνιαυτοῦ κύκλους καὶ ἄστρων θέσεις,
20 φύσεις ζῴων καὶ θυμοὺς θηρίων,
πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων,
διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν,
21 ὅσα τέ ἐστιν κρυπτὰ καὶ ἐμφανῆ ἔγνων·
ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέν με σοφία.
22 Ἔστιν γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον,
μονογενές, πολυμερές, λεπτόν,
εὐκίνητον, τρανόν, ἀμόλυντον,
σαφές, ἀπήμαντον, φιλάγαθον, ὀξύ,
23 ἀκώλυτον, εὐεργετικόν, φιλάνθρωπον,
βέβαιον, ἀσφαλές, ἀμέριμνον,
παντοδύναμον, πανεπίσκοπον
καὶ διὰ πάντων χωροῦν πνευμάτων
νοερῶν καθαρῶν λεπτοτάτων.
24 πάσης γὰρ κινήσεως κινητικώτερον σοφία,
διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα·
25 ἀτμὶς γάρ ἐστιν τῆς τοῦ θεοῦ δυνάμεως
καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής·
διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.
26 ἀπαύγασμα γάρ ἐστιν φωτὸς ἀιδίου
καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας
καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.
27 μία δὲ οὖσα πάντα δύναται
καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει
καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα
φίλους θεοῦ καὶ προφήτας κατασκευάζει·
28 οὐθὲν γὰρ ἀγαπᾷ ὁ θεὸς εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα.
29 ἔστιν γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου
καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν.

19 ενιαυτων BS[c] | αστρων S*†] αστερων rel.: cf. 29 10 17 13 2 17 5 || 20[1] θυμους] νομους και S*† || 21[1] εμφανη] αφανη Gra. || 22[1] εν > A || 23[3] παντεπισκ. AS[c] || 24[2] καθαριοτητα S* || 25[2] ιλικρινειας A† || 27[2] τα > AV† || 28 αγαπα / ο θεος] tr. A || 29[2] αστρων BS†] αστερων rel.: cf. 19

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/359 UNIVERSITÄT LEIPZIG